eul_wid: qnq-ao

*Αἴλιος Ἡρωδιανός* · Herodian of Alexandria

# On Solecism and Barbarism

*Περὶ σολοικισμοῦ καὶ βαρβαρισμοῦ*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Λόγος* Oration

294 (1t) HERODIANVS DE SOLOECISMO ET BARBARISMO. Πᾶς λόγος μὴ ἀκριβῆ τὴν ὁμιλίαν ἔχων ἀπαιδευσίας ἱκανὰ φέρει τεκμήρια· ὅθεν τοὺς πειρωμένους τὴν γραμματικὴν μεταδιώκειν ἀναγκαῖόν ἐστιν ἀσολοίκιστον καὶ ἀβαρβάριστον τὴν προφορὰν τῶν λόγων ποιεῖσθαι, εἰδότας τὴν ἐν αὐτῇ γινομένην ἁμαρτίαν. μήτηρ γὰρ φιλοσοφίας καὶ ῥητορικῆς γέγονε γραμματικὴ καὶ πάσης καλῶς λεγομένης ἐπιστήμης τε καὶ τέχνης ῥίζα καὶ γένεσις πέφυκεν αὕτη, θρέψαι δυναμένη παιδὸς ἀρετήν, ἀκριβουμένη διὰ τεχνικῆς ἐμπειρίας εἰς τὴν ἀναμάρτητον τῆς λέξεως ἐμπειρίαν, ἐξ ἧς πᾶς ἔπαινος ὑψοῦται.

295 ἐπὶ τὴν εὔθυναν οὖν τῶν σολοικισμῶν καὶ βαρβαρισμῶν τὸν λόγον ἡμῶν ἀναγκαῖόν ἐστιν ἑσπεῦσθαι. πειράσομαι δὴ κατὰ πάντα προνοεῖσθαι τοῦ διδασκαλικώτατα καὶ σαφέστατα λέγειν· μία γὰρ αὕτη πρὸς νέον λόγων ὁδὸς εὐκόλως καὶ λευκῶς ἐπὶ τὴν μάθησιν ἐλθεῖν. τρεῖς οὖν γίνονται κακίαι περὶ λόγον· σολοικισμός, βαρβαρισμὸς καὶ ἀκυρολογία. πρῶτον δὲ τὰ τοῦ σολοικισμοῦ καταμάθωμεν. γίνεται οὖν σολοικισμὸς ἐν συμπλοκῇ λέξεων ἀλλήλαις ἀναρμόστων εὔκολος, ὅταν ἡ διαίρεσις πρὸς τὴν συμπλοκὴν τῶν λόγων μὴ ἄγαν ᾖ εὐάρμοστος. ὧν γὰρ καλοῦμεν ἢ προφερόμεθα πάντως ἕκαστόν ἐστιν ἢ ὄνομα ἢ προσηγορία ἢ ῥῆμα ἢ μετοχὴ ἢ ἄρθρον ἢ ἀντωνυμία ἢ πρόθεσις ἢ ἐπίρρημα ἢ σύνδεσμος· ἐννέα γὰρ ταῦτα ἔστι μέρη τοῦ λόγου, ὧν ἔξωθεν οὐδεμία ταῖς ὁμιλίαις ἐμπολιτεύεται λέξις. ἡ δὲ παραλλαγὴ τούτων εἰς τὸν τῶν ἁμαρτημάτων ὄλισθον ἁλίσκεται. προσηγορία μὲν οὖν ἐστὶ λέξις γενικήν τινα ἐμφαίνουσα διάνοιαν, οἷον ἄνθρωπος, ἵππος, βοῦς· ἔθνος γὰρ τούτων ἕκαστον καὶ γένος.

296 ὄνομα δέ ἐστιν ὃ ἀπὸ τοῦ γένους τὸ εἶδος χαρακτηρίζει. ἄνθρωποι γὰρ πολλοί· ὅταν δὲ εἴπωμεν Δημοσθένης, Αἰσχίνης, τῷ ὀνόματι τὸ εἶδος ὑποπίπτει. ῥῆμα δέ ἐστιν ὃ τῶν πραγμάτων τὰ πάθη δηλοῖ ἢ τὰς ἐνεργείας, οἷον ὁ μὲν ἄνθρωπός ἐστι προσηγορία· εἶτα ἠρωτήσαμεν, τίς; ὑπήντησε τὸ ὄνομα, Δημοσθένης· ἀνάγκη τοῦτον τί ποιεῖ κατηγορεῖσθαι. τὸ γὰρ ῥῆμα οὐκ ἐν σώματι κεῖται, ἀλλ’ ἐνεργείᾳ ἢ πάθει· δηλοῦται γὰρ ὑπὸ μὲν τῶν προσηγοριῶν τὰ γένη, ὑπὸ δὲ τῶν ῥημάτων αἱ πράξεις. ἴδωμεν οὖν πῶς πρῶτον ὁ σολοικισμὸς περὶ ταῦτα συμβαίνων τὴν ὀρθοέπειαν ἀδικεῖ· ἀρξόμεθα δὲ ἀπὸ τῶν προσηγοριῶν καὶ τῶν ὀνομάτων. παρέπονται δὲ ταῖς προσηγορίαις καὶ τοῖς ὀνόμασιν ἀριθμοὶ μὲν τρεῖς, πτώσεις δὲ πέντε καὶ γένη πέντε· ἀρσενικόν, θηλυκόν, οὐδέτερον, κοινὸν καὶ ἐπίκοινον. ἐν τάξει δὲ ἀπὸ τῶν ἀριθμῶν εὐθύνωμεν τὸ σφάλμα τοῦ σολοικισμοῦ. ἀριθμός ἐστιν ἑνικὸς ὁ Αἴας, δυϊκὸς τὼ Αἴαντε, πληθυντικὸς οἱ Αἴαντες.

297 δεῖ τοίνυν ἑνικὸν ἑνικῷ ἐπιφέρειν καὶ δυϊκῷ δυϊκὸν καὶ πληθυντικῷ πληθυντικόν· ἐὰν δέ τις ἑνικῷ πληθυντικὸν ἢ πληθυντικῷ ἑνικὸν ἢ πάλιν δυϊκῷ πληθυντικὸν ἐπενέγκῃ, περὶ τοὺς ἀριθμοὺς ὁ σολοικισμός, οἷον ὅστις γὰρ ἀνδρῶν οἴεται μεῖζον φρονεῖν, οὗτοι διαπτυχέντες ὤφθησαν κενοί· τῷ γὰρ ἑνικῷ τὸ πληθυντικὸν ἐπενεχθὲν ἀναρμόστως τὸν λόγον ἔβλαψεν. ἐπὶ δυϊκοῦ· Αἴαντε δ’ ὁρμήσαντες ἐκ ξυνωρίδος· ἔδει γὰρ ἐπενεχθῆναι δυϊκῷ δυϊκόν. τὸ δὲ πληθυντικὸν τῷ ἑνικῷ συναφθὲν ἀσχημονεῖ· ἦλθεν δὲ λαοὶ μυρίοι πρὸς ᾐόνα· πληθυντικῷ γὰρ ἐπιφερομένῳ τῷ λαοὶ μυρίοι ἔδει συνῆφθαι πληθυντικὸν τὸ ἦλθον, οὐχὶ ἦλθεν. οὕτω δεῖ καὶ ἐπὶ τῶν πτώσεων ὀνομαστικῇ μὲν ἐπιφέρειν ὀνομαστικήν, γενικῇ δὲ γενικὴν καὶ πάσαις τὸ ἀκόλουθον.

298 εἰ δέ τις παραλλάξει τὰς πτώσεις, σολοικισμὸν ἀκούει· «Νέστωρ» γὰρ εἰπών, «οὐδὲν αὐτοῦ γλυκύτερον» εἰ ἐπενέγκοι, περὶ τὴν πτῶσιν ἁμαρτήσεται. ὁμοίως δὲ κἂν δοτικήν τις ἀντὶ γενικῆς ἐπενέγκῃ, τῶν ἐπιφερομένων οἰκείων τῇ γενικῇ τυγχανόντων, ἁμαρτήσεται, οἷον Τρωσὶ μὲν ἡγεμόνευεν ἀντὶ τοῦ Τρώων· ἢ πάλιν αἰτιατικὴν ἀντὶ δοτικῆς· χεῖρας δὲ Τρώων ὅπλ’ ἔδωκαν Ἑλλάδος, ἀντὶ τοῦ δοτικῇ χρήσασθαι «χερσὶ δὲ Τρώων ὅπλ’ ἔδωκαν». καὶ πάλιν ἀντὶ αἰτιατικῆς γενικήν· τιμᾶν Μακεδόνων εἵνεκ’ εὐανδρησίας, ἀντὶ τοῦ αἰτιατικῇ χρήσασθαι «Μακεδόνας τιμᾶν».

299 καὶ πάλιν εὐθεῖαν ἀντὶ κλητικῆς, οἷον χαῖρ ε , φίλος ἀντὶ τοῦ κλητικῇ χρήσασθαι «χαῖρε, ὦ φίλε». γενῶν δὲ ἀρρενικὸν μέν ἐστιν ὁ Αἴας, θηλυκὸν δὲ ἡ Ἑλένη, οὐδέτερον δὲ ἀπὸ τοῦ μηδετέρου τὴν ἔμφασιν ἔχειν, οἷον τὸ βῆμα, τὸ παιδίον· κοινὸν δὲ ὃ ἴδιόν ἐστι τῶν δύο γενῶν ἀρσενικοῦ καὶ θηλυκοῦ, οἷον ὁ ἄνθρωπος· ἐπίκοινον δὲ ὃ τῇ μὲν δυνάμει τάσσεται κατὰ τῶν δύο γενῶν, οὐκ ἐπιδέχεται δὲ τὸ ἀρρενικὸν ἄρθρον, οἷον γαλῆ, περιστερά· καὶ γὰρ ἡ θήλεια καὶ ὁ ἄρσην ἐπικοινωνεῖ ταῖς προσηγορίαις, τὸ δὲ ἄρθρον ἀναιρεῖται· οὐδεὶς γὰρ λέγει ὁ περιστερά, ὁ γαλῆ. ὥσπερ οὖν καὶ ἐπὶ τῶν προαγόντων εἴρηται, δεῖ καὶ ἐπὶ τῶν γενῶν ἀρρενικὸν μὲν ἀρρενικῷ ἀκολουθεῖν, θηλυκῷ δὲ θηλυκόν, οὐδετέρῳ δὲ οὐδέτερον. ἡ δέ γε ἀντεμβολὴ καὶ τούτων σολοικισμὸν ἐνόσησεν, οἷον πρὸς κίονα μακρήν · ἀρρενικῷ γὰρ ὄντι τῷ κίονα ἐπήνεγκε θηλυκὸν τὸ μακρά· ἔδει δὲ ἀρρενικῷ τῷ κίονα ἀρρενικὸν ἐπενεγκεῖν τὸ μακρόν.

300 πάλιν τὸ ἐναντίον ἐν τῷ κλυτὸς Ἱπποδάμεια · ἔδει γὰρ τῷ Ἱπποδάμεια ὄντι θηλυκῷ συμφώνως καὶ τὸ κλυτὴ συμπλέξαι. καὶ ἐπὶ τοῦ οὐδετέρου· δῶρόν τοι ἐγ ώ , τέκνον φίλε · οὐδετέρῳ γὰρ οὐδέτερον ἔδει συνεζεῦχθαι καὶ εἰπεῖν ὡς τέκνον, οὕτω καὶ φίλον. τὸ δὲ κοινωνεῖν τοῖς γένεσι τὸν τοῦ σολοικισμοῦ κίνδυνον ἐκφεύγει. τῷ δὲ ἐπικοίνῳ ἐστὶν ἐγχωροῦν ποτὲ εἰς ὄλισθον σολοικισμοῦ πεσεῖν, ἐὰν προτάξῃ τις τὸ μὴ ὀφειλόμενον ἄρθρον, ὁ περιστερά, ὁ γαλῆ. συγκρίσεις δὲ ταῖς προσηγορίαις παρακολουθοῦσιν, ὅθεν καὶ περὶ σύγκρισιν γίνονται σολοικισμοί. ἀπολελυμένον μὲν γάρ ἐστι ταχύς, βραδύς, συγκριτικὸν δὲ ταχύτερος, βραδύτερος, ὑπερθετικὸν δὲ ταχύτατος, βραδύτατος. ὅταν μὲν οὖν μηδὲν μηδενὶ συγκρίνων ἐπαινῇς, λέγε ταχύς, παχύς, βραδύς, κυρτός· ὅταν δὲ πρὸς ἕνα τὴν παράθεσιν προσάγῃς, λέγε ταχύτερος ὅδε τοῦδε· ὅταν δὲ ὑπερβάλλῃς τὸν ἔπαινον, λέγε ταχύτατος. ὅταν οὖν ἢ μηδενὶ συγκρίνων ἀντὶ ἀπολελυμένου τοῦ ταχὺς τῷ συγκριτικῷ προσέλθῃς, ἢ ἑνὶ συγκρίνων ἀντὶ τοῦ ταχύτερος τὸ ὑπερθετικὸν εἴπῃς, ὅδε τοῦδε ταχύτατος, ἁμάρτημα μετὰ σολοικισμοῦ συναντήσει.

301 γίνεται δὲ οὕτω τὸ ἁμαρτανόμενον, οἷον «Πηλείδης ἐστὶν Ὀιλιάδου ὀξύτατος» ἀντὶ τοῦ ὀξύτερος· πρὸς ἕνα γὰρ ἡ παράθεσις. καὶ πάλιν «ὠκύτερος πάντων» εἰπεῖν ἁμάρτημα· δεῖ γὰρ τοῦ πάντων κειμένου προτετάχθαι τὸ ὑπερθετικὸν ὠκύτατος. τῷ δὲ ὀνόματι καὶ ταῖς προσηγορίαις ἐν τάξει τῶν λόγων ἐπιζεύγνυται τὸ ῥῆμα· ἐπεδείκνυμεν γὰρ ὅτι τὸ ῥῆμά ἐστιν ὃ ἐνέργειαν ἢ πάθος δηλοῖ, ἐνέργειαν μὲν ὅταν εἴπω γράφω, πάθος δὲ ὅταν εἴπω γράφομαι. περὶ δὴ πρῶτον αὐτὸ γίνεται σολοικισμός, ὅταν τις τῷ πάσχοντι ἐνεργητικὸν ῥῆμα περιάψῃ, οἷον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐγάμησεν Ἑλένη τὸν θεοῖς στυγούμενον· ἔδει γὰρ τὸ παθητικὸν τῇ γυναικὶ περιάψαι, ἐγαμήθη Ἑλένη· νῦν δὲ ἀντεισῆλθε τὸ ἐνεργοῦν, ἐγάμησεν Ἑλένη. πάλιν ἄν τις τάξῃ τὸ παθητικὸν ἀντὶ ἐνεργητικοῦ, τὴν ὁμιλίαν ἀδικεῖ, οἷον ἀπόλωλα δὲ παρθενίαν · τὸ γὰρ ἀπόλωλα παθητικόν ἐστιν, ἔδει δὲ τῷ ἐνεργητικῷ χρήσασθαι, ἀπολώλεκα παρθενίαν.

302 ὥσπερ δὲ ἐπὶ τῶν προσηγοριῶν, οὕτω πάλιν καὶ ἐπὶ τῶν ῥημάτων ἐκ τῶν παρεπομένων γίνεται σολοικισμός· παρέπεται δὲ τοῖς ῥήμασι πρόσωπα, εἴδη, χρόνοι. πρόσωπα μὲν τρία, ἐγώ, σύ, ἐκεῖνος· οἷον τρέχω ἐγώ, τρέχεις σύ, τρέχει ἐκεῖνος. γίνεται τοίνυν περὶ τὰ πρόσωπα σφάλματα, ὅταν μὴ τῷ πρώτῳ προσώπῳ τις τὸ πρῶτον ἐπενέγκῃ ἢ τῷ δευτέρῳ τὸ δεύτερον ἢ τῷ τρίτῳ τὸ τρίτον, ἀλλ’ ἢ τὸ τρίτον τῷ πρώτῳ ἢ ἕν τι τῶν ἄλλων ἀνακολούθως ἑτέρῳ· οἷον «ὡς δὴ ἐγὼ γελᾷ» παρὰ τῷ λυρικῷ Σιμωνίδῃ· τὸ γὰρ ἐγὼ πρώτου ἐστὶ προσώπου, τὸ δὲ γελᾷ τρίτου· διότι τοίνυν ἐπήνεγκε τῷ πρώτῳ τὸ ἀνακόλουθον, τὴν ὀρθοέπειαν ἔβλαψεν· ἔδει γὰρ εἰπεῖν ἐγὼ γελῶ ἢ ἐκεῖνος γελᾷ. καὶ τὸ Ὁμηρικόν· ἄλλοι μὲν γὰρ πάντες, ὅσοι θεοί εἰς’ ἐν Ὀλύμπῳ, σοί τ’ ἐπιπείθονται καὶ δεδμήμεσθα ἕκαστοι. τὸ μὲν γὰρ ἐπιπείθονται τρίτου προσώπου, τὸ δὲ δεδμήμεσθα πρώτου· ἔδει τοίνυν συνάψαι τὸ ἀκόλουθον, ἢ πειθόμεθα καὶ δεδμήμεσθα ἢ πείθονται καὶ δέδμηνται.

303 εἴδη δὲ τοῖς ῥήμασι ταῦτα παρέπεται, ὁριστικόν, εὐκτικόν, ἐπιζευκτικόν, ὃ καὶ ὑποτακτικὸν καλεῖται, προστακτικόν, ἐρωτηματικόν, ἀπαρέμφατον. ὁριστικὸν μὲν ὃ καὶ καταφατικὸν καλοῦσιν, οἷον γράφω, παιδεύω· ταῦτα γὰρ προτασσόμενα ποιεῖ τὴν ἐπίζευξιν· ἐρωτηματικὸν δὲ ὁριστικοῦ τῷ τόνῳ τῆς προφορᾶς παραλλάσσει· γράφω; παιδεύω; τὸ δὲ προστακτικὸν πρώτου προσώπου κατὰ τὴν πρόσταξιν ἐρημοῦται· οὐδεὶς γὰρ ἑαυτῷ προστάσσει· γίνεται γὰρ ὁριστικόν, εἴ τις ἐθελήσει λέγειν προστακτικῶς, εὖ γράφω· ἀλλὰ δευτέρῳ καὶ τρίτῳ προσώπῳ, γράφε, γραφέτω. ἐπὶ μέντοι τῶν πληθυντικῶν τοῖς τρισὶ προσώποις ὁλόκληρον τὴν πρόσταξιν ἐκσώζει, γράφωμεν, γράφετε, γραφέτωσαν. ἀπαρέμφατον δὲ λέγεται τὴν ἐτυμολογίαν ἔχον ἀπὸ τοῦ μήτε πρόσωπα μήτε ἀριθμοὺς ἐμφαίνειν· γράφειν γὰρ ἐμὲ καὶ γράφειν σὲ καὶ γράφειν ἐκεῖνον, τὸ ῥῆμα τὸ αὐτὸ ἐπὶ τῶν τριῶν προσώπων νοεῖται· γράφειν ἕνα καὶ γράφειν πολλοὺς οὐδέν τι μᾶλλον εἰς ἀλλοίωσιν ἐπὶ τοῦ πλήθους μεταβαίνει τὸ ῥῆμα. ἐν δὲ τοῖς εἴδεσι τούτοις σπανίως ὁρᾶται ὁ σολοικισμός· ἀφέστηκε γὰρ ἀλλήλων. σολοικισμὸς δὲ γίνεται ἐπ’ ἐνίων ἀντὶ τοῦ προστακτικοῦ τῷ ὁριστικῷ χρωμένων κατὰ συνήθειαν· οἷον ἐντέλλομαί σοι, εἶπον τῷ δεῖνι ἐλθεῖν· τὸ γὰρ εἶπον ὁριστικόν ἐστι πρώτου προσώπου· δεῖ δὲ προστακτικῷ χρῆσθαι, εἰπὲ ἐλθεῖν.

304 πλεῖστοι δὲ ἐν τοῖς εἴδεσι περὶ τὰ ἐπιζευκτικὰ γίνονται σολοικισμοί, ἐνίων ὁμοίως καθάπερ ἐπὶ τῶν ὁριστικῶν λέγομεν τὸ γράφω γράφεις γράφει καὶ κατὰ τὸ ἐπιζευκτικὸν τὸ αὐτὸ νοούντων, ἐὰν γράφω, ἐὰν γράφεις, ἐὰν γράφει· δεῖ δὲ ὅσα τῶν ὁριστικῶν διὰ τοῦ εις ει ἢ εῖς εῖ τὴν ἔξοδον ἔχει, ἐπὶ δευτέρου καὶ τρίτου προσώπου ἐν τοῖς ἐπιζευκτικοῖς διὰ τοῦ η ἐκφέρεσθαι, ποιεῖς, ποιεῖ, ἐὰν ποιῇς, ἐὰν ποιῇ· ἐὰν δὲ διὰ τοῦ α καὶ ι, ὁμοίαν τοῖς ὁριστικοῖς προφορὰν ἔχει τὸ ἐπιζευκτικόν, οἷον γελῶ γελᾷς γελᾷ, ἐὰν γελῶ, ἐὰν γελᾷς, ἐὰν γελᾷ. παρέπονται δὲ καὶ χρόνοι τοῖς ῥήμασιν, ἐνεστώς, παρεληλυθώς, μέλλων. καὶ ἐνεστὼς μέν ἐστι τὸ γράφω, παρεληλυθὼς δὲ τὸ ἔγραψα, μέλλων γράψω. ἔτι δὲ ὁ παρεληλυθὼς ἐν τέσσαρσι διαφοραῖς βλέπεται, μίαν μὲν ἔχων τοῦ παρακειμένου καὶ παρῳχημένου, οἷον γέγραφα, δευτέραν δὲ τοῦ παρατατικοῦ, οἷον ἔγραφον, τρίτην δὲ τοῦ ἀορίστου συντελικοῦ, οἷον ἔγραψα, τετάρτην δὲ τοῦ ὑπερσυντελίκου, οἷον ἐγεγράφειν. πολὺ τοίνυν ἀραίωμα περὶ τοὺς χρόνους· αὐτὴ γὰρ ἡ φύσις τῇ προφορᾷ τοὺς λόγους ἐφαρμόζει· καὶ ὁ μέλλει τις ποιήσειν οὐ λέγει ὅτι πεποίηκα οὐδὲ ἐποίησα, ἀλλὰ ποιήσω, καὶ ὃ πεποίηκεν, οὐ ποιήσω, ἀλλὰ πεποίηκα.

305 ἔσθ’ ὅτε δέ τινες ἀντὶ παρῳχημένου τῷ ἐνεστῶτι χρῶνται, οἷον γαμεῖ δ’ ὁ μὲν δὴ Τυνδάρεω κόρην μίαν, ἀντὶ τοῦ ἐγάμησε· καὶ θύρσον δέ τις λαβοῦς’ ἔπαισεν εἰς πέδον, ὅθεν δροσώδης

ὕδατος ἐκπηδᾷ νοτίς, ἀντὶ τοῦ ἐξεπήδησεν. ἐκεῖνον δὲ μᾶλλον ἄξιον τὸν σολοικισμὸν ἀπακριβῶσαι, ἀναιδέστερον δ’ ἐπιτολμῶντα τῷ περὶ τοὺς χρόνους ἁμαρτήματι. λέγουσι γάρ τινες «γέγραφα πέρυσιν» καὶ χρῶνται τῷ παρῳχημένῳ παρακειμένῳ ἀντὶ τοῦ ἀοριστώδους συντελικοῦ ἔγραψα. ὁ μὲν γὰρ ἀοριστώδης συντάσσεσθαι δύναται καὶ ἐπὶ τοῦ πάλαι, ἔγραψα ἄρτι καὶ ἔγραψα πάλαι, διὰ τὸ τῆς συντελείας ἀόριστον· τὸ δὲ γέγραφα συντετέλεσται μὲν καὶ παρῴχηκεν, ἐπεὶ δὲ τὸν χρόνον παρακείμενον ἔχει τὸ γέγραφα, ἄρτι, οὐ πέρυσιν, ὤφειλε λέγειν.

306 τοιούτους καὶ ἐν τοῖς ῥήμασι σολοικισμοὺς ἐννοοῦμεν. μετοχὴ δέ ἐστι ῥῆμα εἰς πτῶσιν κεκλιμένον, οἷον ῥῆμά ἐστι γράφω, μετοχὴ δὲ γράφων, γράφοντος. μετοχὴ δὲ εἴρηται ἀπὸ τοῦ μετέχειν καὶ τῶν τοῖς ῥήμασι παρεπομένων καὶ τῶν τοῖς ὀνόμασι· μετέχει γὰρ ἁπάντων, ἄρθρων, γενῶν, πτώσεων, ἀριθμῶν, χρόνων, παθῶν καὶ ἐνεργειῶν. περὶ ταῦτα πάντα γίνονται σολοικισμοί, ὡς ὑπεδείξαμεν· δεδήλωται γὰρ ὡς περὶ τὰ γένη, περὶ τοὺς ἀριθμούς, περὶ τὰς πτώσεις, περὶ τοὺς χρόνους, περὶ τὰ πάθη, περὶ τὰς ἐνεργείας γίνονται σολοικισμοί. ἄρθρον δέ ἐστι λέξις ἐν συλλαβικῇ δυνάμει προτακτικὴ καὶ ὑποτακτικὴ τῶν ἐμφαινόντων γένη καὶ πτώσεις. προτακτικὰ μὲν ἀρσενικὰ ὁ, τοῦ, τῷ, τόν· ὑποτακτικὰ δὲ ὅς, οὗ, ᾧ, ὅν· πληθυντικὰ δὲ ἀρσενικὰ προτακτικὰ οἱ, τῶν, τοῖς, τούς· ὑποτακτικὰ δὲ οἵ, ὧν, οἷς, οὕς. κατὰ μέντοι Ὅμηρον πληθυντικὰ ὑποτακτικὰ οὐκ ἔστιν, ἀλλὰ τὸ αὐτὸ τῷ προτακτικῷ, καθά φησι· τοὶ δ ’ ἐπὶ θινὶ θαλάσσης ἱερὰ ῥέζο ν . γίνεται τοίνυν σολοικισμὸς περὶ τὰ ἄρθρα ἀρρενικοῖς ἀκολούθως· αὐλῶνά θ ’ ἣν ἄρδουσ ι , δέον λέγειν «ὃν ἄρδουσιν»· ἢ ὅταν ἀντὶ πτώσεως ἑτέρα πτῶσις παραληφθῇ· ὁ μὲν πτελέη ς , ὁ δ ’ ἐλαίης · ἢ ὅταν ἀντὶ προτακτικοῦ χρήσηταί τις τῷ ὑποτακτικῷ· τοίων γὰρ ἀνδρῶν σπέρμ’ ἔδωσεν Ἑλλάδος τῆς κατὰ Τροίαν.

307 τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων προτακτικῶν ἄρθρων καὶ ὑποτακτικῶν. εὐπαρατήρητος δὲ ὁ περὶ τὰς προθέσεις σολοικισμός· γίνεται δὲ ἄλλης εἰς ἄλλην μετατεθείσης. ἐλέγχεται δὲ περὶ τὴν διάνοιαν τῶν πραγμάτων καὶ συνεργίαν, οἷον εἰς ἐλάτην ἀναβὰς περιμήκετον ἀντὶ τοῦ ἐν ἐλάτῃ, καὶ ὡς ἁμαρτάνουσι περὶ τὴν κοινὴν ὁμιλίαν πολλοί· ποῦ ἐστιν ὁ πατήρ; εἰς βαίταν, ἀντὶ τοῦ ἐν βαίτῃ. ὅμοιον γάρ ἐστι τοῦτο, ἐάν τις πυθομένῳ τινὶ ποῖ πορεύεται, ἀποκριθῇ «ἐν βαίτῃ». ἀντωνυμία δέ ἐστι λέξις ἀντὶ ὀνόματος τιθεμένη, ἣ ἐνέργεια καλεῖται. ἐπιδέχεται δὲ πρόσωπα μὲν ὁμοίως τοῖς ῥήμασι, πτώσεις δὲ ὁμοίως τοῖς ὀνόμασιν, οἷον ἐγώ, σύ, οὗτος, ἐκεῖνος, ἡμέτερος, ὑμέτερος, νωίτερος, σφωίτερος. εἰσὶ δὲ καὶ ἁπλαῖ τινὲς τῶν ἀντωνυμιῶν καὶ σύνθετοι· ἁπλαῖ μὲν ἐμέ, σέ, ἕ· σύνθετοι δὲ ἐμαυτόν, σαυτόν, ἑαυτόν. [ὑποτακτικόν, μὴ πίῃς. περὶ πρόσωπα, ὡς ἐν ἀντωνυμίᾳ· σφέτερον πατέ ρ ’ ὑμνείουσα ι , ἀντὶ τοῦ ὑμέτερον. περὶ τὰς μετοχάς, ὡς οὐκ ἂν ἐφ’ ὑμετέρων ὀχέων πληγέντε κεραυνῷ ἀντὶ τοῦ πληγεῖσαι.

308 περὶ τὰ ἄρθρα· μακροῖσι ξυστοῖσι, τά ῥά σφ’ ἐπὶ νηυσὶν ἔκειτο. περὶ τὰς προθέσεις· κάππεσον ἐν Λήμν ῳ . καὶ παρὰ Θουκυδίδῃ κεῖται· εἰς τὸ Ἡραῖον ἐκαθέζοντο, καὶ παρὰ Μενάνδρῳ· καθιζάνει μὲν ἐνίοτ’ εἰς τὰ σήσαμα, καὶ ἐν Ψοφοδεεῖ ἐπίσημον. παρ’ Εὐριπίδῃ· πολλὴ μὲν κοὐκ ἀνώνυμος θεὰ κέκλημαι Κύπρις οὐρανοῦ τ’ ἔσω, ἀντὶ τοῦ ἔνδον. περὶ τοὺς συνδέσμους, ἐάν τις τῷ μὲν τὸ δὲ μὴ ἐπενέγκῃ, οἷον Τρωσὶν μὲν προμάχιζεν Ἀλέξανδρος θεοειδής, παρδαλέην ὤμοισιν ἔχων καὶ καμπύλα τόξα.] Τοῦ λόγου ἀρεταὶ μὲν ἕξ, ἑλληνισμός, σαφήνεια, συντομία, κυριολογία, εὐσυνθεσία, εὐπρέπεια· κακίαι δὲ ταύταις ἀντικείμεναι, ἀσάφεια, μακρολογία, ἀκυρολογία, κακοσυνθεσία, ἀπρέπεια, βαρβαρισμός.

309 ἑλληνισμὸς μὲν οὖν ἐστὶ λέξις ὑγιὴς καὶ ἀδιάστροφος ἢ λόγου μερῶν πλοκὴ κατάλληλος· βαρβαρισμὸς δέ ἐστι λέξις ἡμαρτημένη περὶ τὴν συνήθειαν. διαφέρει δὲ βαρβαρισμὸς σολοικισμοῦ, ὅτι ὁ μὲν σολοικισμὸς τὴν τάξιν βλάπτει τοῦ λόγου, ὁ δὲ βαρβαρισμὸς τῆς λέξεως. γίνεται δὲ ὁ βαρβαρισμὸς κατὰ τρόπους ὀκτώ, κατὰ πρόσθεσιν ἢ ἀφαίρεσιν ἢ ἐναλλαγὴν ἢ συναλοιφὴν ἢ διαίρεσιν ἢ τόνους ἢ χρόνους ἢ πνεῦμα. περὶ μὲν οὖν πρόσθεσιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βαρβαρίζουσιν οἱ λέγοντες Σωκράτην, Δημοσθένην· τὰ γὰρ εἰς ης λήγοντα σύνθετα οὐ προσλαμβάνει ἐπὶ τῆς αἰτιατικῆς τὸ ν, ὅταν παρ’ οὐδέτερον πρὸς τὴν κατάληξιν ἢ ῥῆμα ἐπὶ τέλος ἐμφαίνηται. περὶ δὲ ἀφαίρεσι ν , ὡς εἴ τις λέγει τὸν Ἑρμῆ· δεῖ γὰρ τὸν Ἑρμῆν. περὶ δὲ μετάθεσιν οἱ λέγοντες τὸν δίφρον δίρφον καὶ τὸν Μυτιληναῖον Μιτυληναῖον· ἀπὸ γὰρ Μύτωνος τοῦ κτίστου Μυτιλήνη καλεῖται. περὶ δὲ ἐναλλαγή ν , ὅσοι λέγουσιν ἀντὶ τοῦ ἐβουλόμην ἠβουλόμην, ἐδυνάμην ἠδυνάμην· ὅσα γὰρ ἀπὸ συμφώνων ἄρχεται τῶν φωνηέντων ἐν τῷ ἐνεστῶτι χρόνῳ, ταῦτα κατὰ παρατατικὸν ἀπὸ τοῦ ε ἄρχεται, οἷον λέγω ἔλεγον· οὕτω καὶ μέλλω ἔμελλον καὶ βούλομαι ἐβουλόμην καὶ δύναμαι ἐδυνάμην. περὶ συναλοιφή ν , ὡς Μένανδρος λέγει· ὁ θάτερος δὲ τῶν δυοῖν Διοσκόρων, ἀντὶ τοῦ φάναι ὁ ἕτερος· ἡ γὰρ τοιαύτη συναλοιφὴ γίνεται ἐπὶ οὐδετέρου ἄρθρου, ὅταν αὐτῷ ὄνομα ἀπὸ φωνήεντος ἀρχόμενον ἐπιφέρηται, οἷον τὸ ἕτερον λέγω θάτερον, ἐπὶ δὲ ἀρρενικοῦ οὐδαμῶς.

310 περὶ δὲ διαίρεσι ν , ὡς ὅταν Ἡσίοδος λέγῃ· Μάγνης δὲ κατ’ αὐτὸ καὶ ἀντίθεον Πολυδεύκεα· οὐ γὰρ διαιρεῖται ὧν ἡ αἰτιατικὴ εἰς ν λήγει, ἀλλ’ εἰς η, οἷον Δημοσθένεα Διογένεα, Δημοσθένη Διογένη. περὶ δὲ χρόνους βαρβαρίζουσιν οἱ λέγοντες «ἐὰν βούλομαι» καὶ «ἐὰν ἔρχομαι», ἐπειδὴ τὰ ὑποτακτικὰ τοῖς ὁριστικοῖς μιγνύουσι· φέρομαι, ἐὰν φέρωμαι, λέγομαι, ἐὰν λέγωμαι· οὕτω καὶ ἐὰν βούλωμαι, ἐὰν ἔρχωμαι. ὁμοίως καὶ περὶ τόνους βαρβαρίζουσιν οἱ λέγοντες ἀκρᾶτον προπερισπωμένως· δεῖ γὰρ λέγειν ἄκρατόν ἐστιν. ἡ γὰρ στέρησις προτιθεμένη τῶν δισυλλάβων ὀνομάτων εἰς ος ληγόντων ἀναβιβάζει τὸν τόνον, οἷον ἄκακος, ἄφθαρτος· οὐκοῦν ἄκρατος. περὶ χρόνους βαρβαρίζουσιν οἱ λέγοντες πίνακις ἐκτεταμένως· δεῖ γὰρ λέγειν πινακὶς καὶ κεραμίς, ὡς θυρὶς καὶ σανίς. περὶ δὲ πνεῦμα βαρβαρίζουσιν οἱ λέγοντες αὕριον δασέως· δεῖ γὰρ ψιλῶς, ἐπεὶ εἴρηται παρὰ τὴν αὔραν, ἥτις ἕωθεν ἐκ τῶν ποταμῶν ἀναδίδοσθαι φιλεῖ· αὔρη δ’ ἐκ ποταμοῦ ψυχρὴ πνέει ἠῶθι πρό· ἄλλως τε καὶ διὰ ψιλοῦ ἀντιστοίχου ἐστὶν ἡ συναλοιφή· εἰ γὰρ ἐδασύνετο, διὰ τοῦ θ ὤφειλε συνηλεῖφθαι.

311 ἔνιοι μὲν λέγουσιν ἑλληνισμὸν εἶναι τὸν ποιητήν, ἔνιοι δὲ τὴν κοινὴν διάλεκτον, ἥτις ἐγένετο συνελθόντων τῶν Ἑλλήνων εἰς Ἴλιον, ἄλλοι δὲ τὴν ἐτυμολογίαν, ἥτος ἄχρι τοσούτου … … ἦλθεν εἰς Κόρινθον καὶ πρὸς παίδευσιν γραμματικῆς ἔλαβε τοὺς παῖδας τῶν πολιτῶν. ἔπειτα ἐρωτηθείς τις τί ἐστιν ἑλληνισμός, ἔφη «τὸ πάσαις ταῖς διαλέκτοις ὀρθῶς χρῆσθαι». βαρβαρισμός ἐστιν ἁμάρτημα ἐν λόγῳ γινόμενον περὶ τὴν τῶν ἑλληνιζόντων συνήθειαν. βαρβαρισμὸς εἴρηται οἱονεὶ βαρυαυδησμός τις ὤν. γίνεται δὲ τρόποις πέντε, προσθέσει, ἀφαιρέσει, ἐναλλαγῇ, μεταθέσει καὶ περὶ προσῳδίας. προσθέσει γράμματος, ὡς ἐάν τις λέγῃ Αἰσχίνους δέον εἰπεῖν Αἰσχίνου· ἀφαιρέσει, ὡς ἐάν τις λέγῃ Δημοσθένου δέον εἰπεῖν Δημοσθένους· ἐναλλαγῇ γράμματος, ὡς τὸ δίρφος δέον εἰπεῖν δίφρος· μεταθέσει γράμματος, ὡς κίσηλις δέον εἰπεῖν κίσηρις. γίνονται δὲ βαρβαρισμοὶ καὶ περὶ προσῳδίας. λέγομεν δὲ βαρβαρίζειν καὶ τὸν ἀλλοφύλῳ λέξει χρώμενον, ὡς εἴ τις τὸ μὲν ὑπαυχένιον κερβικάριον λέγει, τὸ δὲ χειρόμακτρον μάππαν.

312 [ἔμφασις δέ ἐστιν ἥπερ δι’ ὑπονοίας ἐπίτασιν τοῦ λεγομένου παρίστησιν, οἷον αὐτὰρ ὅτ’ εἰς ἵππον καταβαίνομεν ὃν κάμ’ Ἐπειός. ἐν τῷ καταβαίνομεν τὸ μέγεθος τοῦ ἵππου ἐμφαίνει. ὅμοιον δὲ κἀκεῖνο· πᾶν δ ’ ὑπεθερμάνθη ξίφος αἵματος · καὶ γὰρ ἐν τούτῳ παρέχει μείζονα ἔννοιαν, ὡς βαπτισθέντος τοῦ ξίφους οὕτως ὥστε θερμανθῆναι.]

Eulogikon public reading copy · View original HTML at eulogikon.org